*Νεαρὰ*[2] *νομοθεσία τοῦ εὐσεβοῦς βασιλέως βασιλείου τοῦ νέου περὶ τῶν δυνατῶν τῶν ἀπὸ πενήτων ἐπικτωμένων, καταδικάζουσα αὐτοὺς ἀπὸ τῆς πρώτης νομοθεσίας ῥωμανοῦ βασιλέως τοῦ πρεσβύτου*[3] *ἤγουν ἀπὸ τῆς β' ἰνδ. τοῦ ,ςυλζ' ἔτους.*

*α'*[4]. *Ἐπειδήπερ ἡ βασιλεία ἡμῶν, ἀφ' οὗ τὴν αὐτοκρατορικὴν ἀρχὴν θεοῦ χάριτα ἔλαβε καὶ τὰς ἐναγομένας*[5] *ὑποθέσεις παρά τε τῶν πλουσίων καὶ τῶν πενήτων*[6] *ἐπεχείρησε ζητεῖν, εὗρεν ὅτι οἱ βουλόμενοι πλεονεκτεῖν δυνατοὶ τῆς*[7] *ἰδίας ἐπιθυμίας εὔλογον ἀφορμὴν ἔχουσι τὸν μέχρι τῆς τεσσαρακονταετίας χρόνον, καὶ σπουδάζουσιν εἴτε διὰ ξενίων καὶ δώρων εἴτε διὰ τῆς ἐνούσης αὐτοῖς δυναστείας τοῦτον διελθεῖν*[8] *καὶ τηνικαῦτα κατὰ τελείαν δεσποτείαν ἔχειν ἅπερ κακῶς ἐπλεονέκτησαν τοὺς πένητας, ἐξέθετο τὴν παροῦσαν νομοθεσίαν, τοῦτο μὲν καὶ τὰ προλαβόντα διορθουμένη, τοῦτο δὲ καὶ τοὺς νῦν δυνατοὺς ἀναστέλλουσα, καὶ τοὺς μετέπειτα κωλύουσα τοῦ μὴ τοῖς αὐτοῖς ἐπιχειρῆσαι γινώσκοντας ὡς οὐδεμίαν ἐντεῦθεν βοήθειαν εὑρή-*

---

Nov. II); Cedreno ed. Paris. p. 702; — *caput* 4 in scholiis Basil. ed. Heimb. V p. 832 et *Πεῖρα* IX, 7; — *caput* 5 in scholiis Basil. ed. Heimb. I p. 705 et V p. 768 sq. (utroque loco textus ipse exhibetur; in inscriptione autem *βασιλείου* pro *βασιλέως* legendum, quod et Heimbachium et Mortreuil II p. 348 fugit); Mich. Attal. tit. 35 (JGR. II p. 64). — Quod ad editiones attinet, primo quidem Bonefidius p. 33 locum Cedreni et Harm. I, 3, 65 dedit. Deinde Leunclav. post Syn. p. 50 sqq. eundem Harmenopuli locum et Novellae ipsius partem priorem: post in JGR. II p. 172 pleniorem ex app. Syn. I cl. Nuper denique Witte (*Ἀνέκδ.* ed. Heimb. II p. 265. 278) variantes lectiones ad eam et cap. ultimum ex app. Syn. II et III cl. publicavit. Jam integra ex Cod. Paris. 1351 editur. [2] Ita inscriptio est in Syn. II et III cl. In app. Syn. I cl. fere est: *Νομοθεσία νεαρὰ βασιλείου πορφυρογεννήτου δεσπότου ἐκφωνηθεῖσα κατὰ τὸν ἰαννουάριον μῆνα τῆς θ' ἰνδ. τοῦ ,ςφδ' ἔτους.* — Geo. Codinus de orig. CP. ed. Paris. p. 78: *Ὁ κύριος βασίλειος ὁ πορφυρογέννητος .... προστάξας γενέσθαι τὰ ἰσόδικα* (?) *ἐτελείωσε ταῦτα ἐν ἔτει τῷ ,ςφγ'· τὴν δὲ νεαρὰν αὐτοῦ τὴν μεγάλην ἐκθέμενος ἐξεφώνησε ταύτην μηνὶ ἰαννουαρίῳ ἰνδ. θ' ἔτους ,ςφδ'.* [3] i. e. a tempore, quod prima illa Romani constitutio (Nov. V) definivit, non a tempore huius constitutionis publicatae; cf. Nov. XV not. 21. Proinde scribendum fuerat: *ἤγουν ἀπὸ τῆς α' ἰνδ. τοῦ ,ςυλς' ἔτους.* (Paris. 1388 non *,ςυλζ'*, sed *,ςυλβ'* habet.) [4] Apud Leuncl. in marg. huic capiti inscribitur: *Περὶ τεσσαρακονταετίας.* [5] Epitome illa in app. Syn. I cl. inc.: *Ἐπειδήπερ ἡ βασιλεία μου, ἀφ' οὗ ηὐτοκρατόρευσε καὶ τὰς κινουμένας ὑποθ. κτλ.* In sqq. lectiones notatu digniores referemus, maxime ut indoles ejus epitomae clarior fiat. [6] Epit. *πτωχῶν.* [7] Paris. 1351: *τάς.* [8] Epit. *διαβῆναι.*

Digitized by Google